ἕνεκα, τότε δὴ μεγάλως ἐπὶ χεῖρας λαβόντα αὐτὰ τὸν ἀμεραμνουνῆ τρωθῆναι δὴ τῷ τούτου πόθῳ, καὶ μέγα ἀνακραγεῖν, τὸν ἄνδρα τῆς φιλοσοφίας καὶ τῶν μαθημάτων ὑπεραγάμενος. ὅθεν εὐθὺς οὐ πρὸς ἐκεῖνον πρὸς δὲ τὸν Θεόφιλον ἐπιστολὴν πέμπει, τὸν νοῦν τοῦτον ἐμπεριέχουσαν, ὡς ἐβουλόμην μὲν αὐτὸς ἀφικέσθαι σοι, ἔργον φίλου τε καὶ μαθητοῦ ἐκπληρῶν· ἐπεὶ δὲ ἥ τε προσανα- B κειμένη μοι ἀρχὴ ἐκ θεοῦ καὶ ὁ πολὺς ὑπὸ τὴν χεῖρά μου τελῶν καὶ ἐξουσίαν λαὸς τοῦτο οὐ συγχωρεῖ, ἀξιῶ τὸν ὃν ἔχεις ἐπὶ φιλοσοφίᾳ καὶ ταῖς ἄλλαις ἐπιστήμαις περιβόητον ἄνδρα βραχύν τινα χρόνον ἐπαποστεῖλαι, καὶ συγγενέσθαι μοι τοῦτον πεῖσαι, τρόπῳ διδασκαλίας τῆς αὐτοῦ ἐπιστήμης μεταδιδόντα καὶ ἀρετῆς τῷ οὕτως ἔχοντι ἐμοὶ πρὸς ἐκείνας ἐρωτικῶς. πάντως δὲ οὐκ ἀναβολή τις γενήσεται ὅτι τε τῶν οὐχ ὁμογλώσσων ἐγὼ καὶ ὅτι τῆς πίστεως ἀλλότριος· ἀλλ' ὅτι μᾶλλον τοιοῦτος ὁ ἀξιῶν, πέρας ἡ αἴτησις λήψεται παρὰ φίλοις ἐπιεικέσι τε καὶ χρηστοῖς. χάρις δέ σοι κα- C ταβληθήσεται ὑπὲρ τούτου χρυσίου μὲν εἴκοσι κεντηνάρια, εἰρήνη δὲ καὶ σπονδαὶ ἀΐδιοί τε καὶ ἀτελεύτητοι. τοσούτοις μὲν ἐκεῖνος τὴν αὐτοῦ ἐξωνεῖτο παρουσίαν καὶ ἄφιξιν· ἀλλ' ὁ Θεόφιλος ἀνταποκρίνας καὶ ἄλογον τὸ οἰκεῖον δοῦναι ἑτέροις καλὸν καὶ τὴν τῶν ὄντων γνῶσιν ἔκδοτον ποιῆσαι τοῖς ἔθνεσι, δι' ἧς τὸ τῶν Ῥωμαίων γένος θαυμάζεταί τε καὶ τιμᾶται παρὰ πᾶσιν, ἐκείνῳ μὲν οὐκ ἐπένευσε, τοῦτον δὲ διὰ τιμῆς πλείονος σχὼν τὸν Ἰωάννην τοῦ

16 ἑκατὸν margo Combef. 19 τῶν om P

causa futura praedicendi signa adiecit. tunc ameramnunes acceptis in manus literis maiorem in modum viri desiderio animo affici altumque vocem tollere, eius philosophiae ac disciplinarum defixus admiratione. mox ergo non ad Leonem sed ad ipsum imperatorem literas scribit, hunc fere continentes sensum. "statueram, quod est amici discipulique officium, ipse ad te venire: sed cum creditum mihi a deo imperium tantaque haec subiectae plebis multitudo id non permittant, rogo ut quem virum philosophia aliisque disciplinis longe celebrem habes, ad breve tempus mittas ac mecum versari iubeas, ut me sua ille doctrina ac virtute, quarum tanto amore flagro, impertiat. neque ob religionis gentisque diversitatem praestare rem differas: sed magis quod talis est qui rogat, finem facile vota habebunt inter probos ac mites amicos. pro hoc autem munere auri centenaria viginti reddemus, pacemque ac foedus perenne componemus." tantis ille redimendam viri praesentiam putavit, et quod is illi utendum praeberet. at Theophilus dato responso, nec consentaneum ratus bonum proprium aliis tradere, rerumque scientiam gentibus prodere, cuius causa Romanum genus ubique gentium admirationem habet honorique ducitur, eius minime votis annuit: Leonem vero maiori porro in honore lubens, Ioanni patriarchalem tum sedem

Digitized by Google